Σχόλια. Τοῖς κριταῖς] πολλάκις ἐν ταῖς παραβάσεσι, καὶ οἱ ποιηταὶ λέγουσι τινὰ εἰς τὰ ἑαυτῶν χρήσιμα, A διὰ τοῦ χορικοῦ προσώπου, ὡς νῦν πρὸς τοὺς κριτὰς ἀποτείνει τὸν λόγον, ὅπως ἂν αὐτοῖς ψηφίσωνται τὴν νίκην.

Ὡς τε κρείττω δῶρα πολλῷ τῶν Ἀλεξάνδρου λαβεῖν.
Πρῶτον μὲν γὰρ οὗ μάλιστα πᾶς κριτὴς ἐφίεται,
Γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουσι Λαυρειωτικαί.
Ἀλλ' ἐνοικήσουσιν ἔνδον ἔν τε τοῖς βαλαντίοις
Ἐννεοττεύσουσι, κἀκλέψουσι μικρὰ κέρματα. B
Εἶτα πρὸς τούτοισιν, ὥσπερ ἐν ἱεροῖς οἰκήσετε.
Τὰς γὰρ ὑμῶν οἰκίας, ἐρέψομεν πρὸς αἰετόν.
Κἂν λαχόντες ἀρχίδιον, εἶθ' ἁρπάσαι βούλησθέ τι
Ὀξὺν ἱερακίσκον ἐς τὰς χεῖρας ὑμῖν δώσομεν.
Ἢν δέ που δειπνῆτε, πρηγορεῶνας ὑμῖν πέμψομεν.
Ἢν δὲ μὴ κρίνητε, χαλκεύεσθε μηνίσκους φορεῖν, C
Ὥσπερ ἀνδριάντες. ὡς ὑμῶν ὃς ἂν μὴ μήνην ἔχῃ,
Ὅταν ἔχητε χλανίδα λευκήν, τότε μάλιστ' οὕτω δίκην
Δώσεθ' ἡμῖν πᾶσι τοῖς ὄρνισι καταχεζόμενοι.

*Ad meliora dona multo illis Alexandri capere.*
*Primùm quidem enim (quo maximè omnis iudex desiderat)*
*Noctuæ vos nunquam relinquent Lauriotica.*
*Sed inhabitabunt intus, inq; arcis*
*Nidificabunt, & decorticabunt parua lucra,*
*Postea ad hæc, tanquam in sacris habitabitis.*
*Has enim vestrûm domos cooperiemus ad aquilam.*
*Et si sortiti dominatiunculam, postea rapere vultis aliquid,*
*Acutum accipiterculum in manus vobis dabimus.*
*Si autem cœnatis, guttura vobis mittemus.*
*Si autem non iudicatis, æramini coopercula ferre,*
*Tanquam statuæ, sic vestrum qui non cooperimentum habeat.*
*Quando habetis chlænulam albam, tunc maximè sic pœnam*
*Dabitis nobis omnibus auibus euulsi.*

Σχόλια. Πολλῷ τῶν Ἀλεξάνδρου.] τοῦ Πάριδος ὧν ἔλαβε παρὰ Ἀφροδίτης. ἀπὸ κοινοῦ δὲ τὸ δώρων. Γλαῦκες ὑμᾶς.] ἀντὶ τοῦ νομίσματα. ἡ γὰρ γλαῦξ, ὄρνεόν ἐστιν Ἀθηνᾶς. ὅπερ πάνυ τιμῶντες Ἀθηναῖοι διὰ τὴν θεόν, ἐν τοῖς τετραδράχμοις ἐνεχάραξαν νομίσμασιν. αἰνίττεται δὲ καὶ εἰς τὸ φιλάργυρον τῶν Ἀθηναίων. ἄλλως. ἡ γλαῦξ ἐπὶ χαράγματος ἦν τετραδράχμου, ὡς Φιλόχορος. ἐκλήθη δὲ τὸ νόμισμα τὸ τετράδραχμον τότε ἡ γλαῦξ. ἦν γὰρ γλαῦξ, ἐπίσημον. καὶ πρόσωπον Ἀθηνᾶς. τῶν προτέρων διδράχμων ὄντων. ἐπίσημόν τε βοῦν ἐχόντων.

Bisetvs. Καὶ παροιμία. γλαῦκες λαυρειωτικαί, ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων, παρόσον ἐν Λαυρείῳ τῆς Ἀττικῆς γίνονται χρύσεια μέταλλα. ἐνεχάραττον δὲ γλαῦκας ἐν τοῖς χρυσοῖς νομίσμασι. Σ.

Σχόλια. Κἀκλέψουσι.] δέον εἰπεῖν καὶ λεπίσουσι. λεπίζουσι γὰρ τὸ ὠὸν ἐκφέρουσι τὰ νεόττια. Ἐρέψομεν] διὰ τὰ ἐν τοῖς ναοῖς ἀετώματα. ἀντὶ τοῦ στεγάσομεν πρὸς ἀε- D τώματα. τὰς γὰρ τῶν ἱερῶν στέγας, πτερὰ καὶ ἀετοὺς καλοῦσιν. ὡς φησιν Ἴων ἐν Ἀγαμέμνονι. Κἂν λαχόντες ἀρχίδιον. ὑποκοριστικῶς τὴν ἀρχήν. διαβάλλει δὲ αὐτοὺς ὡς ἅρπαγας. Ὀξὺν ἱερακίσκον.] ἀντὶ τοῦ ἁρπαγὴν ὀξεῖαν. Δίδυμος τάχος ὡς ἱέρακος, ἵνα ταχέως φύγῃ. Πρηγορεῶνας] κυρίως τῶν ὀρνίθων ὁ λεγόμενος πρόλοβος. ἑκάτερον δέ, ἀπὸ τοῦ συναθροίζειν ἐκεῖ τὴν τροφήν. Δίδυμος δέ, τοὺς βρόγχους τῶν ὀρνέων τοὺς λεγομένους προλόβους, ὅτι συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δέ, καὶ ἐπὶ ἀνθρώπων πρηγορεὼν πάλιν ὁ βρόγχος. ἑκάτερον δέ, ἀπὸ τοῦ συναθροίζειν ἐκεῖ τὴν τροφήν. Ἢν δὲ μὴ κρί- E νητε.] ἐὰν δὲ μὴ ἡμᾶς κρίνητε νικᾶν, τίθεσθε ὥσπερ οἱ ἀνδριάντες μηνίσκους ἐπὶ ταῖς κεφαλαῖς. ποιοῦσι γὰρ ἔνιοι ὥστε μὴ ἐφάπτεσθαι τὰ ὄρνεα. εἰς τὸ αὐτό. μηνίσκους σκεπάσματα τῶν ἀνδριάντων, διὰ τὸ μὴ ἀποπατεῖν κατ' αὐτῶν τὰ ὄρνεα. φησὶν οὖν, ὅτι μέλλομεν ὑμῶν καταπατεῖν. Μήνην.] μηνίσκον μήνη γὰρ ἔοικε.

## ΠΕΙΣΘΕΤΑΙΡΟΣ, ΑΓΓΕΛΟΣ. F

## Pistheterus, Nuncius.

Κορωνὶς ἐκ στίχων ό.

Bisetvs. Ὁ Πεισθέταιρος ἔσω θύσας εἰς τὴν σκηνὴν πάλιν ἔρχεται. ἔρχεται καὶ ἄγγελός τις ἐκ τῆς νεοκτίστου πόλεως ἥκων, ὃς τὴν πόλεως οἰκοδομὴν, τὴν ποιότητα, καὶ μέγεθος, καὶ τὰ ἐν αὐτῇ συμβάντα διηγεῖται.

Πισ. Τὰ μὲν ἱέρ' ἡμῖν ἐστιν ὤρνιθες καλά.
Ἀλλ' ὡς ἀπὸ τοῦ τείχους πάρεστιν ἀγγελος
Οὐδείς, ὅτου πευσόμεθα τἀκεῖ πράγματα.
Ἀλλ' οὑτοσὶ τρέχει τις Ἀλφειὸν πνέων. G
Ἀγγ. Ποῦ ποῦ 'στι. ποῦ ποῦ ποῦ 'στι. ποῦ ποῦ ποῦ 'στι ποῦ.
Ποῦ Πεισθέταιρός ἐστιν ἄρχων; Πισ. οὑτοσί.
Ἀγ. Ἐξῳκοδόμηταί σοι τὸ τεῖχος. Πισ. εὖ λέγεις.
Ἀγ. Κάλλιστον ἔργον καὶ μεγαλοπρεπέστατον.

Pi. *Hæc quidē sacra nobis sunt ô aues bona,*
*Sed tanquam à muro adest nuncius*
*Nullus, quem interrogabimus illic res.*
*Sed hic currit aliquis Alpheū spirans.*
Nvn. *Vbi vbi est? vbi vbi vbi est? vbi vbi vbi est? vbi*
*Vbi Pisthetærus est princeps?* Pi. *hic.*
Nvn. *Ædificatus est tibi murus?* Pi. *bene dicis.*
Nvn. *Optimum opus & honorandum,*

Σχόλια.